Ζῶα.

Βόνασοι. Μαῖδοι.

Κεφ. XLV. ὁ δὲ βόνασος γίνεται μὲν ἐν τῇ Παιο-
νίᾳ ἐν τῷ ὄρει τῷ Μεσσαπίῳ, ὃ ὁρίζει τὴν Παιονι-
κὴν καὶ τὴν Μαιδικὴν χώραν, καλοῦσι δ' αὐτὸν οἱ
Παίονες μόναπον. Τὸ δὲ μέγεθός ἐστιν ἡλίκον ταῦρος,
ἢ ἐστιν ὀγκωδέστερον ἢ βοῦς· οὐ γὰρ πρόμηκές ἐστιν.
Τὸ δὲ δέρμα αὐτοῦ κατέχει εἰς ἑπτάκλινα ἐκταθέν.
Καὶ τὸ ἄλλο δ' εἶδος ὅμοιον βοΐ, πλὴν χαίτην ἔχει
μέχρι τῆς ἀκρωμίας ὥσπερ ἵππος . . . . . .
. . . . . . . . . . . . . "

Ἀριστοτ. Περὶ τὰ ζῶα ἱστοριῶν θ.

8. κ . . . Δίχαλα δ' ἅμα καὶ χαίτην ἔχοντα καὶ κέ-
ρατα δύο κεκαμμένα εἰς αὑτά ἐστιν ἔνια τῶν ζῴ-
ων οἷον ὁ βόνασος ὃς γίνεται περὶ τὴν Παιονίαν ἢ
τὴν Μαιδικήν. . .

Β . . .

Ζῷα

# Νέσσος ποταμός. Λέοντες.



Κεφ. XXXI. Λέων δ' ὅτι μὲν ὀχεύει ὄπισθεν καὶ ἔστιν ὀπι- Αριστοτ.
σθουρητικὸν εἴρηται πρότερον· ὀχεύει δὲ καὶ τίκτει οὐ πᾶσαν ὥ- Ζώων ἱστορ.
ραν, καθ' ἕκαστον μέντοι τὸν ἐνιαυτόν. τίκτει μὲν οὖν τοῦ ἔ- ς΄.
αρος, τίκτει δ' ὡς ἐπὶ τὸ πολὺ δύο, τὰ μὲν πλεῖστα ἕξ. τίκτει
δ' ἐνίοτε καὶ ἕν. ὁ δὲ λεχθεὶς μῦθος περὶ τοῦ ἐκβάλλειν τὰς ὑστέρας
τίκτοντα ληρώδης ἐστί, συνετέθη δ' ἐκ τοῦ σπανίους εἶναι τοὺς λέοντας,
ἀποροῦντας τὴν αἰτίαν τοὺς τὸν μῦθον συνθέντας· σπάνιον γὰρ τὸ γέ-
νος τὸ τῶν λεόντων ἐστὶ καὶ ἐν πολλῷ γίνεται τόπῳ, ἀλλὰ τῆς Εὐ-
ρώπης ἁπάσης ἐν τῷ μεταξὺ τοῦ Ἀχελῴου καὶ τοῦ Νέσσου πο-
ταμοῦ. τίκτει δὲ καὶ ὁ λέων πάνυ μικρὰ οὕτως ὥστε δίμη-
να ὄντα μόλις βαδίζειν. . . . "

Κεφ. XXVIIIa . . . ἔτι δὲ λέοντες μὲν ἐν τῇ Εὐρώπῃ μᾶλ- Η.
λον, καὶ τῆς Εὐρώπης ἐν τῷ μεταξὺ τόπῳ τοῦ Ἀχελῴου καὶ Νέσ-
σου μόνον· πάρδαλις δὲ ἐν τῇ Ἀσίᾳ, ἐν δὲ τῇ Εὐρώπῃ οὐ γί-
νονται. "

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὄνοι. Ζῶα. 

Κεφ. ΚΗ' α. ....... Καὶ ἐν Αἰγύπτῳ τὰ μὲν ἄλλα μείζω ἢ ἐν τῇ Ἑλλάδι, καθάπερ οἱ βόες καὶ τὰ πρόβατα, τὰ δ' ἐλάττω, οἷον οἱ κύνες ἢ λύκοι ἢ λαγωοὶ ἢ ἀλώπεκες ἢ κόρακες ἢ ἱέρακες, τὰ δὲ παραπλήσια, οἷον κορῶναι ἢ αἶγες. Αἰτιῶνται δὲ τὰς τροφάς. ...... Πολλαχοῦ δὲ ἡ κρᾶσις αἰτία, οἷον ἐν τῇ Ἰλλυρίδι ἢ τῇ Θρᾴκῃ ἢ τῇ Ἠπείρῳ οἱ ὄνοι μικροί, ἐν δὲ τῇ Σκυθικῇ ἢ Κελτικῇ ὅλως οὐ γίνονται· δυσχείμερα γὰρ ταῦτα..

Ἀριστοτ. Ζώων ιζ' Η'.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ζῶα

Θράκη. ὄνοι

| | |
|---|---|
| Αριστ. περί ζώων ιστορ. Τ. Γ. σ. 169 Η. κεφ. XXVIII. | « Πολλαχοῦ δὲ καὶ ἡ ὥρα αἰτία, οἷον ἐν τῇ Ἰλλυρίδι καὶ τῇ Θράκῃ καὶ τῇ Ἠπείρῳ οἱ ὄνοι μικροί, ἐν δὲ τῇ Σκυθικῇ καὶ Κελτικῇ ὅλως οὐ γίνονται, δυσχείμερα γὰρ ταῦτα. » |

# Ὄνοι. Ζῶα

286

Κεφ. ΚΗ΄ α. . . . . . . Καὶ ἐν Αἰγύπτῳ τὰ μὲν ἄλλα μείζω ἢ ἐν τῇ Ἑλλάδι, καθάπερ οἱ βόες καὶ τὰ πρόβατα, τὰ δ' ἐλάττω, οἷον οἱ κύνες καὶ λύκοι καὶ λαγῲ καὶ ἀλώπεκες καὶ κόρακες καὶ ἱέρακες, τὰ δὲ παραπλήσια, οἷον κορῶναι καὶ αἶγες. Αἰτιῶνται δὲ τὰς τροφάς. . . . . . Πολλαχοῦ δὲ καὶ ἡ κρᾶσις αἰτία, οἷον ἐν τῇ Ἰλλυρίδι καὶ τῇ Θρᾴκῃ καὶ τῇ Ἠπείρῳ οἱ ὄνοι μικροί, ἐν δὲ τῇ Σκυθικῇ καὶ Κελτικῇ ὅλως οὐ γίνονται· δυσχείμερα γὰρ ταῦτα. . .

Ἀριστοτ. Ζώων ἱστ. Η΄.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Εθνογραφία.

Χαλκιδική η επί Θράκης. Ασσυρίτις. Ψυχρός ποταμός. Πρόβατα γεννώντα μέλανας άρνας.

289

Κεφ. XII. « . . . Και περί τας οχείας δ' εστίν ύδατα πολ- Αριστοτ.
λαχού τοιαύτα, α πιόντα και οχεύσανται μετά την πό- περί τα ζώα
σιν τα πρόβατα μέλανας γεννώσι τους άρνας, οίον ιστοριών. Γ
και εν τη Χαλκιδική τη επί της Θράκης εν τη Ασσυ-
ρίτιδι εποίει ο καλούμενος ποταμός Ψυχρός. και εν
τη Αντανδρία δε δύο ποταμοί εισιν ων ο μεν λευκά, ο
δε μέλανα ποιεί τα πρόβατα. »